πλοῦτος· χορὸς ἀγροίκων· βλεψίδημος· πενία· γυνὴ
χρεμύλου· ~~δίκαιος ἀνήρ· ἕτερος ἀνὴρ ἀδικηθείς· συκοφάν~~
της· δίκαιος ἀνήρ· ἕτερος ἀνὴρ ἀδικηθείς· συκοφάντης· γραῦς·
νέος· ἑρμῆς· ἱερεὺς διός:- ἀριστοφάνους πλοῦτος
ὁρῶν ὁ καρίων τὸν αὐτοῦ δεσπότην χρεμύλον μετὰ τὸ ἐξελθεῖν τοῦ
μαντείου τυφλῷ ἀνδρὶ ἑπόμενον, σχετλιάζων καὶ δυσφορῶν τοῦτό φησιν·

καρ. Ὡς ἀργαλέον πρᾶγμ' ἐστὶν ὦ ζεῦ καὶ θεοί,
δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου·
ἢν γὰρ τὰ βέλτισθ' ὁ θεράπων λέξας τύχῃ,
δόξῃ δὲ μὴ δρᾶν ταῦτα τῷ κεκτημένῳ,
μετέχειν ἀνάγκη τὸν θεράποντα τῶν κακῶν·
τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον
κρατεῖν ὁ δαίμων· ἀλλὰ τὸν ἐωνημένον·
καὶ ταῦτα μὲν δὴ ταῦτα· τῷ δὲ λοξίᾳ
ὃς θεσπιῳδεῖ τρίποδος ἐκ χρυσηλάτου,
μέμψιν δικαίαν μέμφομαι ταύτην· ὅτι
ἰατρὸς ὢν καὶ μάντις, ὥς φασι σοφός,
μελαγχολῶντ' ἀπέπεμψέ μου τὸν δεσπότην,
ὅστις ἀκολουθεῖ κατόπιν ἀνθρώπου τυφλοῦ,
τοὐναντίον δρῶν ἢ προσῆκ' αὐτῷ ποιεῖν·
οἱ γὰρ βλέποντες τοῖς τυφλοῖς ἡγούμεθα·
οὗτος δ' ἀκολουθεῖ, κἀμὲ προσβιάζεται,
καὶ ταῦτ' ἀποκρινομένου τὸ παράπαν οὐδὲ γρῦ·
ἐγὼ μὲν οὖν οὐκ ἔσθ' ὅπως σιγήσομαι·
ἢν μὴ φράσῃς, ὅτι τῷδ' ἀκολουθοῦμέν ποτε,
ὦ δέσποτ' ἀλλά σοι παρέξω πράγματα·
οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε·
χρε. μὰ δί' ἀλλ' ἀφελὼν τὸν στέφανον ἢν λυπῇς τί με,
ἵνα μᾶλλον ἀλγῇς. καρίων. λῆρος· οὐ γὰρ παύσομαι
πρὶν ἂν φράσῃς μοι, τίς ποτ' ἐστὶν οὑτοσί·

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_293/0039